Od.5.121 ὣς μὲν ὅτ᾽ Ὠρίων᾽ ἕλετο ῥοδοδάκτυλος Ἠώς,
Od.5.122 τόφρα οἱ ἠγάασθε θεοὶ ῥεῖα ζώοντες,
Od.5.123 ἕως μιν ἐν Ὀρτυγίῃ χρυσόθρονος Ἄρτεμις ἁγνὴ
Od.5.124 οἷσ᾽ ἀγανοῖσι βέλεσσιν ἐποιχομένη κατέπεφνεν.
Od.5.125 ὣς δ᾽ ὁπότ᾽ Ἰασίωνι ἐϋπλόκαμος Δημήτηρ,
Od.5.126 ᾧ θυμῷ εἴξασα, μίγη φιλότητι καὶ εὐνῇ
Od.5.127 νειῷ ἔνι τριπόλῳ· οὐδὲ δὴν ἦεν ἄπυστος
Od.5.128 Ζεύς, ὅς μιν κατέπεφνε βαλὼν ἀργῆτι κεραυνῷ.
Od.5.129 ὣς δ᾽ αὖ νῦν μοι ἄγασθε, θεοί, βροτὸν ἄνδρα παρεῖναι.
Od.5.130 τὸν μὲν ἐγὼν ἐσάωσα περὶ τρόπιος βεβαῶτα
Od.5.131 οἶον, ἐπεί οἱ νῆα θοὴν ἀργῆτι κεραυνῷ
Od.5.132 Ζεὺς ἐλάσας ἐκέασσε μέσῳ ἐνὶ οἴνοπι πόντῳ.
Od.5.133 ἔνθ᾽ ἄλλοι μὲν πάντες ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι,
Od.5.134 τὸν δ᾽ ἄρα δεῦρ᾽ ἄνεμός τε φέρων καὶ κῦμα πέλασσε.
Od.5.135 τὸν μὲν ἐγὼ φίλεόν τε καὶ ἔτρεφον ἠδὲ ἔφασκον
Od.5.136 θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα.
Od.5.137 ἀλλ᾽ ἐπεὶ οὔ πως ἔστι Διὸς νόον αἰγιόχοιο
Od.5.138 οὔτε παρεξελθεῖν ἄλλον θεὸν οὔθ᾽ ἁλιῶσαι,
Od.5.139 ἐρρέτω, εἴ μιν κεῖνος ἐποτρύνει καὶ ἀνώγει,
Od.5.140 πόντον ἐπ᾽ ἀτρύγετον. πέμψω δέ μιν οὔ πῃ ἐγώ γε·
Od.5.141 οὐ γάρ μοι πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
Od.5.142 οἵ κέν μιν πέμποιεν ἐπ᾽ εὐρέα νῶτα θαλάσσης.
Od.5.143 αὐτάρ οἱ πρόφρων ὑποθήσομαι οὐδ᾽ ἐπικεύσω,
Od.5.144 ὥς κε μάλ᾽ ἀσκηθὴς ἣν πατρίδα γαῖαν ἵκηται."
Od.5.145 τὴν δ᾽ αὖτε προσέειπε διάκτορος Ἀργεϊφόντης·
Od.5.146 "οὕτω νῦν ἀπόπεμπε, Διὸς δ᾽ ἐποπίζεο μῆνιν,

Od.5.147 μή πώς τοι μετόπισθε κοτεσσάμενος χαλεπήνῃ."
Od.5.148 ὣς ἄρα φωνήσας ἀπέβη κρατὺς Ἀργεϊφόντης·
Od.5.149 ἡ δ´ ἐπ´ Ὀδυσσῆα μεγαλήτορα πότνια νύμφη
Od.5.150 ἤϊ´, ἐπεὶ δὴ Ζηνὸς ἐπέκλυεν ἀγγελιά̱ων.
Od.5.151 τὸν δ´ ἄρ´ ἐπ´ ἀκτῆς εὗρε καθήμενον· οὐδέ ποτ´ ὄσσε
Od.5.152 δακρυόφιν τέρσοντο, κατείβετο δὲ γλυκὺς αἰὼν
Od.5.153 νόστον ὀδυ̱ρομένῳ, ἐπεὶ οὐκέτι ἥνδανε νύμφη.
Od.5.154 ἀλλ´ ἦ τοι νύκτας μὲν ἰαύεσκεν καὶ ἀνάγκῃ
Od.5.155 ἐν σπέεσι γλαφυροῖσι παρ´ οὐκ ἐθέλων ἐθελούσῃ·
Od.5.156 ἤματα δ´ ἂμ πέτρῃσι καὶ ἠϊόνεσσι καθίζων
Od.5.157 [δάκρυσι καὶ στοναχῇσι καὶ ἄλγεσι θυ̱μὸν ἐρέχθων]
Od.5.158 πόντον ἐπ´ ἀτρύγετον δερκέσκετο δάκρυα λείβων.
Od.5.159 ἀγχοῦ δ´ ἱσταμένη προσεφώνεε δῖα θεά̱ων·
Od.5.160 "κάμμορε, μή μοι ἔτ´ ἐνθάδ´ ὀδύ̱ρεο, μηδέ τοι αἰὼν
Od.5.161 φθι̱νέτω· ἤδη γάρ σε μάλα πρόφρασσ´ ἀποπέμψω.
Od.5.162 ἀλλ´ ἄγε δούρατα μακρὰ ταμὼν ἁρμόζεο χαλκῷ
Od.5.163 εὐρεῖαν σχεδίην· ἀτὰρ ἴκρια πῆξαι ἐπ´ αὐτῆς
Od.5.164 ὑψοῦ, ὥς σε φέρῃσιν ἐπ´ ἠεροειδέα πόντον.
Od.5.165 αὐτὰρ ἐγὼ σῖτον καὶ ὕδωρ καὶ οἶνον ἐρυθρὸν
Od.5.166 ἐνθήσω μενοεικέ´, ἅ κέν τοι λι̱μὸν ἐρύ̱κοι,
Od.5.167 εἵματά τ´ ἀμφιέσω· πέμψω δέ τοι οὖρον ὄπισθεν,
Od.5.168 ὥς κε μάλ´ ἀσκηθὴς σὴν πατρίδα γαῖαν ἵκηαι,
Od.5.169 αἴ κε θεοί γ´ ἐθέλωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
Od.5.170 οἵ μευ φέρτεροί εἰσι νοῆσαί τε κρῆναί τε."
Od.5.171 ὣς φάτο, ῥί̱γησεν δὲ πολύτλα̱ς δῖος Ὀδυσσεύς,
Od.5.172 καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·

Od.5.173 "ἄλλό τι δὴ σύ, θεά, τόδε μήδεαι οὐδέ τι πομπήν,
Od.5.174 ἥ με κέλεαι σχεδίῃ περάαν μέγα λαῖτμα θαλάσσης,
Od.5.175 δεινόν τ᾽ ἀργαλέον τε· τὸ δ᾽ οὐδ᾽ ἐπὶ νῆες ἐΐσαι
Od.5.176 ὠκύποροι περόωσιν, ἀγαλλόμεναι Διὸς οὔρῳ.
Od.5.177 οὐδ᾽ ἂν ἐγώ γ᾽ ἀέκητι σέθεν σχεδίης ἐπιβαίην,
Od.5.178 εἰ μή μοι τλαίης γε, θεά, μέγαν ὅρκον ὀμόσσαι
Od.5.179 μή τί μοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο."
Od.5.180 ὣς φάτο, μείδησεν δὲ Καλυψώ, δῖα θεάων,
Od.5.181 χειρί τέ μιν κατέρεξεν ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
Od.5.182 "ἦ δὴ ἀλιτρός γ᾽ ἐσσὶ καὶ οὐκ ἀποφώλια εἰδώς,
Od.5.183 οἷον δὴ τὸν μῦθον ἐπεφράσθης ἀγορεῦσαι.
Od.5.184 ἴστω νῦν τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθε
Od.5.185 καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς τε μέγιστος
Od.5.186 ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσι,
Od.5.187 μή τί τοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο.
Od.5.188 ἀλλὰ τὰ μὲν νοέω καὶ φράσσομαι, ἅσσ᾽ ἂν ἐμοί περ
Od.5.189 αὐτῇ μηδοίμην, ὅτε με χρειὼ τόσον ἵκοι·
Od.5.190 καὶ γὰρ ἐμοὶ νόος ἐστὶν ἐναίσιμος, οὐδέ μοι αὐτῇ
Od.5.191 θυμὸς ἐνὶ στήθεσσι σιδήρεος, ἀλλ᾽ ἐλεήμων."
Od.5.192 ὣς ἄρα φωνήσασ᾽ ἡγήσατο δῖα θεάων
Od.5.193 καρπαλίμως· ὁ δ᾽ ἔπειτα μετ᾽ ἴχνια βαῖνε θεοῖο.
Od.5.194 ἷξον δὲ σπεῖος γλαφυρὸν θεὸς ἠδὲ καὶ ἀνήρ·
Od.5.195 καί ῥ᾽ ὁ μὲν ἔνθα καθέζετ᾽ ἐπὶ θρόνου, ἔνθεν ἀνέστη
Od.5.196 Ἑρμείας, νύμφη δ᾽ ἐτίθει πάρα πᾶσαν ἐδωδήν,
Od.5.197 ἔσθειν καὶ πίνειν, οἷα βροτοὶ ἄνδρες ἔδουσιν·
Od.5.198 αὐτὴ δ᾽ ἀντίον ἷζεν Ὀδυσσῆος θείοιο,

Od.5.199 τῇ δὲ παρ´ ἀμβροσίην δμῳαὶ καὶ νέκταρ ἔθηκαν.
Od.5.200 οἱ δ´ ἐπ´ ὀνείαθ´ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Od.5.201 αὐτὰρ ἐπεὶ τάρπησαν ἐδητύος ἠδὲ ποτῆτος,
Od.5.202 τοῖσ´ ἄρα μύ̮θων ἦρχε Καλυψώ, δῖα θεά̱ων·
Od.5.203 "δι̯ογενὲς Λα̱ερτιάδη, πολυμήχαν´ Ὀδυσσεῦ,
Od.5.204 οὕτω δὴ οἶκόνδε φίλην ἐς πατρίδα γαῖαν
Od.5.205 αὐτίκα νῦν ἐθέλεις ἰέναι; σὺ δὲ χαῖρε καὶ ἔμπης.
Od.5.206 εἴ γε μὲν εἰδείης σῇσι φρεσίν, ὅσσα τοι αἶσα
Od.5.207 κήδε´ ἀναπλῆσαι, πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
Od.5.208 ἐνθάδε κ´ αὖθι μένων σὺν ἐμοὶ τόδε δῶμα φυλάσσοις
Od.5.209 ἀ̱θάνατός τ´ εἴης, ἱ̱μειρόμενός περ ἰδέσθαι
Od.5.210 σὴν ἄλοχον, τῆς τ´ αἰὲν ἐέλδεαι ἤματα πάντα.
Od.5.211 οὐ μέν θην κείνης γε χερείων εὔχομαι εἶναι,
Od.5.212 οὐ δέμας οὐδὲ φυήν, ἐπεὶ οὔ πως οὐδὲ ἔοικε
Od.5.213 θνητὰ̱ς ἀ̱θανάτῃσι δέμας καὶ εἶδος ἐρίζειν."
Od.5.214 τὴν δ´ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Od.5.215 "πότνα θεά, μή μοι τόδε χώεο· οἶδα καὶ αὐτὸς
Od.5.216 πάντα μάλ´, οὕνεκα σεῖο περίφρων Πηνελόπεια
Od.5.217 εἶδος ἀκιδνοτέρη μέγεθός τ´ εἰσάντα ἰδέσθαι·
Od.5.218 ἡ μὲν γὰρ βροτός ἐστι, σὺ δ´ ἀ̱θάνατος καὶ ἀγήρως.
Od.5.219 ἀλλὰ καὶ ὣς ἐθέλω καὶ ἐέλδομαι ἤματα πάντα
Od.5.220 οἴκαδέ τ´ ἐλθέμεναι καὶ νόστιμον ἦμαρ ἰδέσθαι.
Od.5.221 εἰ δ´ αὖ τις ῥαίῃσι θεῶν ἐνὶ οἴνοπι πόντῳ,
Od.5.222 τλήσομαι ἐν στήθεσσιν ἔχων ταλαπενθέα θυ̱μόν·
Od.5.223 ἤδη γὰρ μάλα πολλὰ πάθον καὶ πολλὰ μόγησα
Od.5.224 κύ̱μασι καὶ πολέμῳ· μετὰ καὶ τόδε τοῖσι γενέσθω."

Od.5.225 ὣς ἔφατ᾽, ἠέλιος δ᾽ ἄρ᾽ ἔδυ̱ καὶ ἐπὶ κνέφας ἦλθεν·
Od.5.226 ἐλθόντες δ᾽ ἄρα τώ γε μυχῷ σπείους γλαφυροῖο
Od.5.227 τερπέσθην φιλότητι, παρ᾽ ἀλλήλοισι μένοντες.
Od.5.228 ἦμος δ᾽ ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
Od.5.229 αὐτίχ᾽ ὁ μὲν χλαῖνάν τε χιτῶνά τε ἕννυτ᾽ Ὀδυσσεύς,
Od.5.230 αὐτὴ δ᾽ ἀργύφεον φᾶρος μέγα ἕννυτο νύμφη,
Od.5.231 λεπτὸν καὶ χαρίεν, περὶ δὲ ζώνην βάλετ᾽ ἰξυῖ
Od.5.232 κα̱λὴν χρυ̱σείην, κεφαλῇ δ᾽ ἐφύπερθε καλύπτρην.
Od.5.233 καὶ τότ᾽ Ὀδυσσῆϊ μεγαλήτορι μήδετο πομπήν·
Od.5.234 δῶκε μέν οἱ πέλεκυν μέγαν, ἄρμενον ἐν παλάμῃσι,
Od.5.235 χάλκεον, ἀμφοτέρωθεν ἀκαχμένον· αὐτὰρ ἐν αὐτῷ
Od.5.236 στειλειὸν περικαλλὲς ἐλά̱ϊνον, εὖ ἐναρηρός·
Od.5.237 δῶκε δ᾽ ἔπειτα̣ σκέπαρνον ἐΰξοον· ἦρχε δ᾽ ὁδοῖο
Od.5.238 νήσου ἐπ᾽ ἐσχατιήν, ὅθι δένδρεα μακρὰ πεφύ̱κει,
Od.5.239 κλήθρη τ᾽ αἴγειρός τ᾽, ἐλάτη τ᾽ ἦν οὐρανομήκης,
Od.5.240 αὖα πάλαι, περίκηλα, τά οἱ πλώοιεν ἐλαφρῶς.
Od.5.241 αὐτὰρ ἐπεὶ δὴ δεῖξ᾽ ὅθι δένδρεα μακρὰ πεφύ̱κει,
Od.5.242 ἡ μὲν ἔβη πρὸς δῶμα Καλυψώ, δῖα θεά̱ων,
Od.5.243 αὐτὰρ ὁ τάμνετο δοῦρα· θοῶς δέ οἱ ἤνυτο ἔργον.
Od.5.244 εἴκοσι δ᾽ ἔκβαλε πάντα, πελέκκησεν δ᾽ ἄρα χαλκῷ,
Od.5.245 ξέσσε δ᾽ ἐπισταμένως καὶ ἐπὶ στάθμην ἴ̱θυ̱νε.
Od.5.246 τόφρα δ᾽ ἔνεικε τέρετρα Καλυψώ, δῖα θεά̱ων·
Od.5.247 τέτρηνεν δ᾽ ἄρα πάντα καὶ ἥρμοσεν ἀλλήλοισι,
Od.5.248 γόμφοισιν δ᾽ ἄρα τήν γε καὶ ἁρμονίῃσιν ἄρασσεν.
Od.5.249 ὅσσον τίς τ᾽ ἔδαφος νηὸς τορνώσεται ἀ̱νὴρ
Od.5.250 φορτίδος εὐρείης, εὖ εἰδὼς τεκτοσυνά̱ων,

Od.5.251 τόσσον ἐπ´ εὐρεῖαν σχεδίην ποιήσατ´ Ὀδυσσεύς.

Od.5.252 ἴκρια δὲ στήσας, ἀραρὼν θαμέσι σταμίνεσσι,

Od.5.253 ποίει· ἀτὰρ μακρῇσιν ἐπηγκενίδεσσι τελεύτα.

Od.5.254 ἐν δ´ ἱστὸν ποίει καὶ ἐπίκριον ἄρμενον αὐτῷ·

Od.5.255 πρὸς δ´ ἄρα πηδάλιον ποιήσατο, ὄφρ´ ἰθύνοι.

Od.5.256 φράξε δέ μιν ῥίπεσσι διαμπερὲς οἰσυΐνῃσι,

Od.5.257 κύματος εἶλαρ ἔμεν· πολλὴν δ´ ἐπεχεύατο ὕλην.

Od.5.258 τόφρα δὲ φάρε´ ἔνεικε Καλυψώ, δῖα θεάων,

Od.5.259 ἱστία ποιήσασθαι· ὁ δ´ εὖ τεχνήσατο καὶ τά.

Od.5.260 ἐν δ´ ὑπέρας τε κάλους τε πόδας τ´ ἐνέδησεν ἐν αὐτῇ,

Od.5.261 μοχλοῖσιν δ´ ἄρα τήν γε κατείρυσεν εἰς ἅλα δῖαν.

Od.5.262 τέτρατον ἦμαρ ἔην, καὶ τῷ τετέλεστο ἅπαντα·

Od.5.263 τῷ δ´ ἄρα πέμπτῳ πέμπ´ ἀπὸ νήσου δῖα Καλυψώ,

Od.5.264 εἵματά τ´ ἀμφιέσασα θυώδεα καὶ λούσασα.

Od.5.265 ἐν δέ οἱ ἀσκὸν ἔθηκε θεὰ μέλανος οἴνοιο

Od.5.266 τὸν ἕτερον, ἕτερον δ´ ὕδατος μέγαν, ἐν δὲ καὶ ᾖα

Od.5.267 κωρύκῳ, ἐν δέ οἱ ὄψα τίθει μενοεικέα πολλά·

Od.5.268 οὖρον δὲ προέηκεν ἀπήμονά τε λιαρόν τε.

Od.5.269 γηθόσυνος δ´ οὔρῳ πέτασ´ ἱστία δῖος Ὀδυσσεύς.

Od.5.270 αὐτὰρ ὁ πηδαλίῳ ἰθύνετο τεχνηέντως

Od.5.271 ἥμενος· οὐδέ οἱ ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτε

Od.5.272 Πληϊάδας τ´ ἐσορῶντι καὶ ὀψὲ δύοντα Βοώτην

Od.5.273 Ἄρκτόν θ´, ἣν καὶ ἄμαξαν ἐπίκλησιν καλέουσιν,

Od.5.274 ἥ τ´ αὐτοῦ στρέφεται καί τ´ Ὠρίωνα δοκεύει,

Od.5.275 οἴη δ´ ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο·

Od.5.276 τὴν γὰρ δή μιν ἄνωγε Καλυψώ, δῖα θεάων,

Od.5.277 ποντοπορευέμεναι ἐπ᾽ ἀριστερὰ χειρὸς ἔχοντα.
Od.5.278 ἑπτὰ δὲ καὶ δέκα μὲν πλέεν ἤματα ποντοπορεύων,
Od.5.279 ὀκτωκαιδεκάτῃ δ᾽ ἐφάνη ὄρεα σκιόεντα
Od.5.280 γαίης Φαιήκων, ὅθι τ᾽ ἄγχιστον πέλεν αὐτῷ·
Od.5.281 εἴσατο δ᾽ ὡς ὅτε ρ̱ινὸν ἐν ἠεροειδέϊ πόντῳ.
Od.5.282 τὸν δ᾽ ἐξ Αἰθιόπων ἀνιὼν κρείων ἐνοσίχθων
Od.5.283 τηλόθεν ἐκ Σολύμων ὀρέων ἴδεν· εἴσατο γάρ οἱ
Od.5.284 πόντον ἐπιπλείων. ὁ δ᾽ ἐχώσατο κηρόθι μα̂λλον,
Od.5.285 κι̱νήσας δὲ κάρη προτὶ ὃν μυ̱θήσατο θυ̱μόν·
Od.5.286 "ὢ πόποι, ἦ μάλα δὴ μετεβούλευσαν θεοὶ ἄλλως
Od.5.287 ἀμφ᾽ Ὀδυσῆϊ ἐμεῖο μετ᾽ Αἰθιόπεσσιν ἐόντος·
Od.5.288 καὶ δὴ Φαιήκων γαίης σχεδόν, ἔνθα οἱ αἶσα
Od.5.289 ἐκφυγέειν μέγα πεῖραρ ὀϊζύος, ἥ μιν ἱκα̱νει.
Od.5.290 ἀλλ᾽ ἔτι μέν μίν φημι ἅδην ἐλάαν κακότητος."
Od.5.291 ὣς εἰπὼν σύναγεν νεφέλα̱ς, ἐτάραξε δὲ πόντον
Od.5.292 χερσὶ τρίαιναν ἑλών· πα̱σα̱ς δ᾽ ὀρόθυ̱νεν ἀέλλα̱ς
Od.5.293 παντοίων ἀνέμων, σὺν δὲ νεφέεσσι κάλυψε
Od.5.294 γαῖαν ὁμοῦ καὶ πόντον· ὀρώρει δ᾽ οὐρανόθεν νύξ.
Od.5.295 σὺν δ᾽ εὖρός τε νότος τ᾽ ἔπεσον ζέφυρός τε δυσα̱ὴς
Od.5.296 καὶ βορέης αἰθρηγενέτης, μέγα κῦμα κυλίνδων.
Od.5.297 καὶ τότ᾽ Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ,
Od.5.298 ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυ̱μόν·
Od.5.299 "ὤ μοι ἐγὼ δειλός, τί νύ μοι μήκιστα γένηται;
Od.5.300 δείδω μὴ δὴ πάντα θεὰ̱ νημερτέα εἶπεν,
Od.5.301 ἥ μ᾽ ἔφατ᾽ ἐν πόντῳ, πρὶν πατρίδα γαῖαν ἱκέσθαι,
Od.5.302 ἄλγε᾽ ἀναπλήσειν· τὰ δὲ δὴ νῦν πάντα τελεῖται.

Od.5.303 οἵοισιν νεφέεσσι περιστέφει οὐρανὸν εὐρὺν
Od.5.304 Ζεύς, ἐτάραξε δὲ πόντον, ἐπισπέρχουσι δ´ ἄελλαι
Od.5.305 παντοίων ἀνέμων· νῦν μοι σῶς αἰπὺς ὄλεθρος.
Od.5.306 τρὶς μάκαρες Δαναοὶ καὶ τετράκις, οἳ τότ´ ὄλοντο
Od.5.307 Τροίῃ ἐν εὐρείῃ, χάριν Ἀτρεΐδῃσι φέροντες.
Od.5.308 ὡς δὴ ἐγώ γ´ ὄφελον θανέειν καὶ πότμον ἐπισπεῖν
Od.5.309 ἤματι τῷ ὅτε μοι πλεῖστοι χαλκήρεα δοῦρα
Od.5.310 Τρῶες ἐπέρριψαν περὶ Πηλεΐωνι θανόντι.
Od.5.311 τῶ κ´ ἔλαχον κτερέων, καί μευ κλέος ἦγον Ἀχαιοί·
Od.5.312 νῦν δέ με λευγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι."
Od.5.313 ὣς ἄρα μιν εἰπόντ´ ἔλασεν μέγα κῦμα κατ´ ἄκρης,
Od.5.314 δεινὸν ἐπεσσύμενον, περὶ δὲ σχεδίην ἐλέλιξε.
Od.5.315 τῆλε δ´ ἀπὸ σχεδίης αὐτὸς πέσε, πηδάλιον δὲ
Od.5.316 ἐκ χειρῶν προέηκε· μέσον δέ οἱ ἱστὸν ἔαξε
Od.5.317 δεινὴ μισγομένων ἀνέμων ἐλθοῦσα θύελλα·
Od.5.318 τηλοῦ δὲ σπεῖρον καὶ ἐπίκριον ἔμπεσε πόντῳ.
Od.5.319 τὸν δ´ ἄρ´ ὑπόβρυχα θῆκε πολὺν χρόνον, οὐδὲ δυνάσθη
Od.5.320 αἶψα μάλ´ ἀνσχεθέειν μεγάλου ὑπὸ κύ̱ματος ὁρμῆς·
Od.5.321 εἵματα γάρ ἑ βάρυ̱νε, τά οἱ πόρε δῖα Καλυψώ.
Od.5.322 ὀψὲ δὲ δή ῥ´ ἀνέδυ, στόματος δ´ ἐξέπτυσεν ἅλμην
Od.5.323 πικρήν, ἥ οἱ πολλὴ ἀπὸ κρα̱τὸς κελάρυζεν.
Od.5.324 ἀλλ´ οὐδ´ ὣς σχεδίης ἐπελήθετο, τειρόμενός περ,
Od.5.325 ἀλλὰ μεθορμηθεὶς ἐνὶ κύ̱μασιν ἐλλάβετ´ αὐτῆς,
Od.5.326 ἐν μέσσῃ δὲ καθῖζε τέλος θανάτου ἀλεείνων.
Od.5.327 τὴν δ´ ἐφόρει μέγα κῦμα κατὰ ῥόον ἔνθα καὶ ἔνθα.
Od.5.328 ὡς δ´ ὅτ´ ὀπωρι̱νὸς βορέης φορέῃσιν ἀκάνθας

Od.5.329 ἂμ πεδίον, πυκιναὶ δὲ πρὸς ἀλλήλῃσιν ἔχονται.
Od.5.330 ὣς τὴν ἂμ πέλαγος ἄνεμοι φέρον ἔνθα καὶ ἔνθα·
Od.5.331 ἄλλοτε μέν τε νότος βορέῃ προβάλεσκε φέρεσθαι,
Od.5.332 ἄλλοτε δ´ αὖτ´ εὖρος ζεφύρῳ εἴξασκε διώκειν.
Od.5.333 τὸν δὲ ἴδεν Κάδμου θυγάτηρ, καλλίσφυρος Ἰ̱νώ,
Od.5.334 Λευκοθέη, ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα,
Od.5.335 νῦν δ´ ἁλὸς ἐν πελάγεσσι θεῶν ἐξέμμορε τι̱μῆς.
Od.5.336 ἥ ῥ´ Ὀδυσῆ´ ἐλέησεν ἀλώμενον, ἄλγε´ ἔχοντα·
Od.5.337 [αἰθυίῃ δ´ εἰκυῖα ποτῇ ἀνεδύ̱σετο λίμνης,]
Od.5.338 ἷζε δ´ ἐπὶ σχεδίης καί μιν πρὸς μῦθον ἔειπε·
Od.5.339 "κάμμορε, τίπτε τοι ὧδε Ποσειδά̱ων ἐνοσίχθων
Od.5.340 ὠδύσατ´ ἐκπάγλως, ὅτι τοι κακὰ πολλὰ φυτεύει;
Od.5.341 οὐ μὲν δή σε καταφθείσει, μάλα περ μενεαίνων.
Od.5.342 ἀλλὰ μάλ´ ὧδ´ ἔρξαι, δοκέεις δέ μοι οὐκ ἀπινύσσειν·
Od.5.343 εἵματα ταῦτ´ ἀποδὺς σχεδίην ἀνέμοισι φέρεσθαι
Od.5.344 κάλλιπ´, ἀτὰρ χείρεσσι νέων ἐπιμαίεο νόστου
Od.5.345 γαίης Φαιήκων, ὅθι τοι μοῖρ´ ἐστὶν ἀλύξαι.
Od.5.346 τῆ δέ, τόδε κρήδεμνον ὑπὸ στέρνοιο τανύσσαι
Od.5.347 ἄμβροτον· οὐδέ τί τοι παθέειν δέος οὐδ´ ἀπολέσθαι.
Od.5.348 αὐτὰρ ἐπὴν χείρεσσιν ἐφάψεαι ἠπείροιο,
Od.5.349 ἂψ ἀπολυ̱σάμενος βαλέειν εἰς οἴνοπα πόντον
Od.5.350 πολλὸν ἀπ´ ἠπείρου, αὐτὸς δ´ ἀπονόσφι τραπέσθαι."
Od.5.351 ὣς ἄρα φωνήσα̱σα θεὰ̱ κρήδεμνον ἔδωκεν,
Od.5.352 αὐτὴ δ´ ἂψ ἐς πόντον ἐδύ̱σετο κυ̱μαίνοντα
Od.5.353 αἰθυίῃ εἰκυῖα· μέλαν δέ ἑ κῦμ´ ἐκάλυψεν.
Od.5.354 αὐτὰρ ὁ μερμήριξε πολύτλα̱ς δῖος Ὀδυσσεύς,

Od.5.355 ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυ̱μόν·
Od.5.356 "ὤ μοι ἐγώ, μή τίς μοι ὑφαίνῃσιν δόλον αὖτε
Od.5.357 ἀ̱θανάτων, ὅ τέ με σχεδίης ἀποβῆναι ἀνώγει.
Od.5.358 ἀλλὰ μάλ᾽ οὔ πω πείσομ᾽, ἐπεὶ ἑκὰς ὀφθαλμοῖσι
Od.5.359 γαῖαν ἐγὼν ἰδόμην, ὅθι μοι φάτο φύξιμον εἶναι.
Od.5.360 ἀλλὰ μάλ᾽ ὧδ᾽ ἔρξω, δοκέει δέ μοι εἶναι ἄριστον·
Od.5.361 ὄφρ᾽ ἂν μέν κεν δούρατ᾽ ἐν ἁρμονίῃσιν ἀρήρῃ,
Od.5.362 τόφρ᾽ αὐτοῦ μενέω καὶ τλήσομαι ἄλγεα πάσχων·
Od.5.363 αὐτὰρ ἐπὴν δή μοι σχεδίην διὰ κῦμα τινάξῃ,
Od.5.364 νήξομ᾽, ἐπεὶ οὐ μέν τι πάρα προνοῆσαι ἄμεινον."
Od.5.365 εἷος ὁ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυ̱μόν,
Od.5.366 ὦρσε δ᾽ ἐπὶ μέγα κῦμα Ποσειδά̱ων ἐνοσίχθων,
Od.5.367 δεινόν τ᾽ ἀργαλέον τε, κατηρεφές, ἤλασε δ᾽ αὐτόν.
Od.5.368 ὡς δ᾽ ἄνεμος ζα̱ὴς ἠῒων θημῶνα τινάξῃ
Od.5.369 καρφαλέων, τὰ μὲν ἄρ τε διεσκέδασ᾽ ἄλλυδις ἄλλῃ,
Od.5.370 ὣς τῆς δούρατα μακρὰ διεσκέδασ᾽. αὐτὰρ Ὀδυσσεὺς
Od.5.371 ἀμφ᾽ ἑνὶ δούρατι βαῖνε, κέληθ᾽ ὡς ἵππον ἐλαύνων,
Od.5.372 εἵματα δ᾽ ἐξαπέδυ̱νε, τά οἱ πόρε δῖα Καλυψώ.
Od.5.373 αὐτίκα δὲ κρήδεμνον ὑπὸ στέρνοιο τάνυσσεν,
Od.5.374 αὐτὸς δὲ πρηνὴς ἁλὶ κάππεσε, χεῖρε πετάσσα̱ς,
Od.5.375 νηχέμεναι μεμαώς. ἴδε δὲ κρείων ἐνοσίχθων,
Od.5.376 κι̱νήσας δὲ κάρη προτὶ ὃν μυ̱θήσατο θυ̱μόν·
Od.5.377 "οὕτω νῦν κακὰ πολλὰ παθὼν ἀλόω κατὰ πόντον,
Od.5.378 εἰς ὅ κεν ἀνθρώποισι διοτρεφέεσσι μιγήῃς.
Od.5.379 ἀλλ᾽ οὐδ᾽ ὧς σε ἔολπα ὀνόσσεσθαι κακότητος."
Od.5.380 ὣς ἄρα φωνήσας ἵμασεν καλλίτριχας ἵππους,

Od.5.381 ἵ̱κετο δ᾽ εἰς Αἰγά̱ς, ὅθι οἱ κλυτὰ δώματ᾽ ἔα̱σιν.
Od.5.382 αὐτὰρ Ἀθηναίη, κούρη Διός, ἄλλ᾽ ἐνόησεν·
Od.5.383 ἦ τοι τῶν ἄλλων ἀνέμων κατέδησε κελεύθους,
Od.5.384 παύσασθαι δ᾽ ἐκέλευσε καὶ εὐνηθῆναι ἅπαντας·
Od.5.385 ὦρσε δ᾽ ἐπὶ κραιπνὸν βορέην, πρὸ δὲ κύ̱ματ᾽ ἔαξεν,
Od.5.386 εἷος ὃ Φαιήκεσσι φιληρέτμοισι μιγείη
Od.5.387 δι̱ογενὴς Ὀδυσεύς, θάνατον καὶ κῆρας ἀλύξα̱ς.
Od.5.388 ἔνθα δύω νύκτας δύο τ᾽ ἤματα κύ̱ματι πηγῷ
Od.5.389 πλάζετο, πολλὰ δέ οἱ κραδίη προτιόσσετ᾽ ὄλεθρον.
Od.5.390 ἀλλ᾽ ὅτε δὴ τρίτον ἦμαρ ἐϋπλόκαμος τέλεσ᾽ Ἠώς,
Od.5.391 καὶ τότ᾽ ἔπειτ᾽ ἄνεμος μὲν ἐπαύσατο ἠδὲ γαλήνη
Od.5.392 ἔπλετο νηνεμίη· ὁ δ᾽ ἄρα σχεδὸν εἴσιδε γαῖαν
Od.5.393 ὀξὺ μάλα προϊδών, μεγάλου ὑπὸ κύ̱ματος ἀρθείς.
Od.5.394 ὡς δ᾽ ὅτ᾽ ἂν ἀσπάσιος βίοτος παίδεσσι φανήῃ
Od.5.395 πατρός, ὃς ἐν νούσῳ κεῖται κρατέρ᾽ ἄλγεα πάσχων,
Od.5.396 δηρὸν τηκόμενος, στυγερὸς δέ οἱ ἔχραε δαίμων,
Od.5.397 ἀσπάσιον δ᾽ ἄρα τόν γε θεοὶ κακότητος ἔλυ̱σαν,
Od.5.398 ὣς Ὀδυσῆ᾽ ἀσπαστὸν ἐείσατο γαῖα καὶ ὕ̱λη,
Od.5.399 νῆχε δ᾽ ἐπειγόμενος ποσὶν ἠπείρου ἐπιβῆναι.
Od.5.400 ἀλλ᾽ ὅτε τόσσον ἀπῆν, ὅσσον τε γέγωνε βοήσας,
Od.5.401 καὶ δὴ δοῦπον ἄκουσε ποτὶ σπιλάδεσσι θαλάσσης· —
Od.5.402 ῥόχθει γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο
Od.5.403 δεινὸν ἐρευγόμενον, εἴλυ̱το δὲ πάνθ᾽ ἁλὸς ἄχνῃ·
Od.5.404 οὐ γὰρ ἔσαν λιμένες νηῶν ὀχοί, οὐδ᾽ ἐπιωγαί,
Od.5.405 ἀλλ᾽ ἀκταὶ προβλῆτες ἔσαν σπιλάδες τε πάγοι τε· —
Od.5.406 καὶ τότ᾽ Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ,

Od.5.407 ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυ̱μόν·
Od.5.408 "ὤ μοι, ἐπεὶ δὴ γαῖαν ἀελπέα δῶκεν ἰδέσθαι
Od.5.409 Ζεύς, καὶ δὴ τόδε λαῖτμα διατμήξας ἐπέρησα,
Od.5.410 ἔκβασις οὔ πῃ φαίνεθ᾽ ἁλὸς πολιοῖο θύραζε·
Od.5.411 ἔκτοσθεν μὲν γὰρ πάγοι ὀξέες, ἀμφὶ δὲ κῦμα
Od.5.412 βέβρυ̱χεν ῥόθιον, λισσὴ δ᾽ ἀναδέδρομε πέτρη,
Od.5.413 ἀγχιβαθὴς δὲ θάλασσα, καὶ οὔ πως ἔστι πόδεσσι
Od.5.414 στήμεναι ἀμφοτέροισι καὶ ἐκφυγέειν κακότητα·
Od.5.415 μή πώς μ᾽ ἐκβαίνοντα βάλῃ λίθακι̯ ποτὶ πέτρῃ
Od.5.416 κῦμα μέγ᾽ ἁρπάξαν· μελέη δέ μοι ἔσσεται ὁρμή.
Od.5.417 εἰ δέ κ᾽ ἔτι προτέρω παρανήξομαι, ἤν που ἐφεύρω
Od.5.418 ἠϊόνας τε παραπλῆγας λιμένας τε θαλάσσης,
Od.5.419 δείδω μή μ᾽ ἐξαῦτις ἀναρπάξα̱σα θύελλα
Od.5.420 πόντον ἐπ᾽ ἰχθυόεντα φέρῃ βαρέα στενάχοντα,
Od.5.421 ἠέ τί μοι καὶ κῆτος ἐπισσεύῃ μέγα δαίμων
Od.5.422 ἐξ ἁλός, οἷά τε πολλὰ τρέφει κλυτὸς Ἀμφιτρῑ̱́τη·
Od.5.423 οἶδα γὰρ ὥς μοι ὀδώδυσται κλυτὸς ἐννοσίγαιος."
Od.5.424 εἷος ὁ ταῦθ᾽ ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυ̱μόν,
Od.5.425 τόφρα δέ μιν μέγα κῦμα φέρεν τρηχεῖαν ἐπ᾽ ἀκτήν.
Od.5.426 ἔνθά κ᾽ ἀπὸ ῥι̱νοὺς δρύφθη, σὺν δ᾽ ὀστέ᾽ ἀράχθη,
Od.5.427 εἰ μὴ ἐπὶ φρεσὶ θῆκε θεὰ̱ γλαυκῶπις Ἀθήνη·
Od.5.428 ἀμφοτέρῃσι δὲ χερσὶν ἐπεσσύμενος λάβε πέτρης,
Od.5.429 τῆς ἔχετο στενάχων, εἷος μέγα κῦμα παρῆλθε.
Od.5.430 καὶ τὸ μὲν ὣς ὑπάλυξε, παλιρρόθιον δέ μιν αὖτις
Od.5.431 πλῆξεν ἐπεσσύμενον, τηλοῦ δέ μιν ἔμβαλε πόντῳ.
Od.5.432 ὡς δ᾽ ὅτε πουλύποδος θαλάμης ἐξελκομένοιο

Od.5.433 πρὸς κοτυληδονόφιν πυκιναὶ λά̱ϊγγες ἔχονται,
Od.5.434 ὣς τοῦ πρὸς πέτρῃσι θρασειά̱ων ἀπὸ χειρῶν
Od.5.435 ῥι̱νοὶ ἀπέδρυφθεν· τὸν δὲ μέγα κῦμ´ ἐκάλυψεν.
Od.5.436 ἔνθά κε δὴ δύστηνος ὑπὲρ μόρον ὤλετ´ Ὀδυσσεύς,
Od.5.437 εἰ μὴ ἐπιφροσύνην δῶκε γλαυκῶπις Ἀθήνη·
Od.5.438 κύ̱ματος ἐξαναδύς, τά τ´ ἐρεύγεται ἤπειρόνδε,
Od.5.439 νῆχε παρέξ, ἐς γαῖαν ὁρώμενος, εἴ που ἐφεύροι
Od.5.440 ἠϊόνας τε παραπλῆγας λιμένας τε θαλάσσης.
Od.5.441 ἀλλ´ ὅτε δὴ ποταμοῖο κατὰ στόμα καλλιρόοιο
Od.5.442 ἷξε νέων, τῇ δή οἱ ἐείσατο χῶρος ἄριστος,
Od.5.443 λεῖος πετρά̱ων, καὶ ἐπὶ σκέπας ἦν ἀνέμοιο·
Od.5.444 ἔγνω δὲ προρέοντα καὶ εὔξατο ὃν κατὰ θυ̱μόν·
Od.5.445 "κλῦθι, ἄναξ, ὅτις ἐσσί· πολύλλιστον δέ σ´ ἱκά̱νω
Od.5.446 φεύγων ἐκ πόντοιο Ποσειδά̱ωνος ἐνι̱πά̱ς.
Od.5.447 αἰδοῖος μέν τ´ ἐστὶ καὶ ἀ̱θανάτοισι θεοῖσιν,
Od.5.448 ἀνδρῶν ὅς τις ἵκηται ἀλώμενος, ὡς καὶ ἐγὼ νῦν
Od.5.449 σόν τε ῥόον σά τε γούναθ´ ἱκά̱νω πολλὰ μογήσας.
Od.5.450 ἀλλ´ ἐλέαιρε, ἄναξ· ἱκέτης δέ τοι εὔχομαι εἶναι."
Od.5.451 ὣς φάθ´, ὁ δ´ αὐτίκα παῦσεν ἑὸν ῥόον, ἔσχε δὲ κῦμα,
Od.5.452 πρόσθε δέ οἱ ποίησε γαλήνην, τὸν δ´ ἐσάωσεν
Od.5.453 ἐς ποταμοῦ προχοά̱ς. ὁ δ´ ἄρ´ ἄμφω γούνατ´ ἔκαμψε
Od.5.454 χεῖράς τε στιβαρά̱ς· ἁλὶ γὰρ δέδμητο φίλον κῆρ·
Od.5.455 ᾤδεε δὲ χρόα πάντα, θάλασσα δὲ κήκιε πολλὴ
Od.5.456 ἂν στόμα τε ῥῖνάς θ´· ὁ δ´ ἄρ´ ἄπνευστος καὶ ἄναυδος
Od.5.457 κεῖτ´ ὀλιγηπελέων, κάματος δέ μιν αἰνὸς ἵκα̱νεν.
Od.5.458 ἀλλ´ ὅτε δή ῥ´ ἄμπνυ̱το καὶ ἐς φρένα θυ̱μὸς ἀγέρθη,

Od.5.459 καὶ τότε δὴ κρήδεμνον ἀπὸ̣ ἕο λῦσε θεοῖο.
Od.5.460 καὶ τὸ μὲν ἐς ποταμὸν ἁλιμυ̱ρήεντα μεθῆκεν,
Od.5.461 ἂψ δ´ ἔφερεν μέγα κῦμα κατὰ ῥόον, αἶψα δ´ ἄρ´ Ἰ̱νὼ
Od.5.462 δέξατο χερσὶ φίλῃσιν· ὁ δ´ ἐκ ποταμοῖο λιασθεὶς
Od.5.463 σχοίνῳ ὑπεκλί̱νθη, κύσε δὲ ζείδωρον ἄρουραν.
Od.5.464 ὀχθήσας δ´ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυ̱μόν·
Od.5.465 "ὤ μοι ἐγώ, τί πάθω; τί νύ μοι μήκιστα γένηται;
Od.5.466 εἰ μέν κ´ ἐν ποταμῷ δυσκηδέα νύκτα φυλάσσω,
Od.5.467 μή μ´ ἄμυδις στί̱βη τε κακὴ καὶ θῆλυς ἐέρση
Od.5.468 ἐξ ὀλιγηπελίης δαμάσῃ κεκαφηότα θυ̱μόν·
Od.5.469 αὔρη δ´ ἐκ ποταμοῦ ψυ̱χρὴ πνέει ἠῶθι πρό.
Od.5.470 εἰ δέ κεν ἐς κλειτὺν ἀναβὰ̱ς καὶ δάσκιον ὕ̱λην
Od.5.471 θάμνοισ´ ἐν πυκινοῖσι καταδράθω, εἴ με μεθείη
Od.5.472 ῥῖγος καὶ κάματος, γλυκερὸς δέ μοι ὕπνος ἐπέλθοι̱,
Od.5.473 δείδω μὴ θήρεσσιν ἕλωρ καὶ κύρμα γένωμαι."
Od.5.474 ὣς ἄρα οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι·
Od.5.475 βῆ ῥ´ ἴμεν εἰς ὕ̱λην· τὴν δὲ σχεδὸν ὕ̱δατος εὗρεν
Od.5.476 ἐν περιφαινομένῳ. δοιοὺς δ´ ἄρ´ ὑπήλυθε θάμνους
Od.5.477 ἐξ ὁμόθεν πεφυῶτας· ὁ μὲν φυλίης, ὁ δ´ ἐλαίης.
Od.5.478 τοὺς μὲν ἄρ´ οὔτ´ ἀνέμων διάη μένος ὑγρὸν ἀέντων,
Od.5.479 οὔτε ποτ´ ἠέλιος φαέθων ἀκτῖσιν ἔβαλλεν,
Od.5.480 οὔτ´ ὄμβρος περάασκε διαμπερές· ὣς ἄρα πυκνοὶ
Od.5.481 ἀλλήλοισιν ἔφυν ἐπαμοιβαδίς· οὓς ὑπ´ Ὀδυσσεὺς
Od.5.482 δύ̱σετ´. ἄφαρ δ´ εὐνὴν ἐπαμήσατο χερσὶ φίλῃσιν
Od.5.483 εὐρεῖαν· φύλλων γὰρ ἔην χύσις ἤλιθα πολλή,
Od.5.484 ὅσσον τ´ ἠὲ δύω ἠὲ τρεῖς ἄνδρας ἔρυσθαι

Od.5.485 ὥρῃ χειμερίῃ, εἰ καὶ μάλα περ χαλεπαίνοι.
Od.5.486 τὴν μὲν ἰδὼν γήθησε πολύτλα̱ς δῖος Ὀδυσσεύς,
Od.5.487 ἐν δ´ ἄρα μέσσῃ λέκτο, χύσιν δ´ ἐπεχεύατο φύλλων.
Od.5.488 ὡς δ´ ὅτε τις δα̱λὸν σποδιῇ ἐνέκρυψε μελαίνῃ
Od.5.489 ἀγροῦ ἐπ´ ἐσχατιῆς, ᾧ μὴ πάρα γείτονες ἄλλοι,
Od.5.490 σπέρμα πυρὸς σῴζων, ἵνα μή ποθεν ἄλλοθεν αὔοι,
Od.5.491 ὣς Ὀδυσεὺς φύλλοισι καλύψατο. τῷ δ´ ἄρ´ Ἀθήνη
Od.5.492 ὕπνον ἐπ´ ὄμμασι χεῦ´, ἵνα μιν παύσειε τάχιστα
Od.5.493 δυσπονέος καμάτοιο, φίλα βλέφαρ´ ἀμφικαλύψα̱ς.